Διὰ τί ἐν τοῖς νότοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώ- 24 τερον οἱ ἄνθρωποι; ἢ ὅτι ἐξ ὀλίγου πολὺ ὑγρὸν γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ; ἔτι δὲ ἡ δύναμις ἡμῶν ἐν τοῖς ἄρθροις ἐστί· ταῦτα δὲ ἀνίεται ὑπὸ τῶν νοτίων. δηλοῦσι δὲ οἱ ψόφοι τῶν κεκολλημένων. τὸ γὰρ γλίσχρον ἐν τοῖς ἄρθροις, πεπηγὸς μέν, κινεῖσθαι κωλύει ἡμᾶς· ὑγρὸν δὲ λίαν ὄν, συντείνεσθαι.

Διὰ τί ἀρρωστοῦσι μὲν μᾶλλον τοῦ θέρους, ἀποθνήσκουσι 25 δὲ μᾶλλον οἱ ἀρρωστοῦντες τοῦ χειμῶνος; ἢ ὅτι τοῦ χειμῶνος διὰ τὴν πυκνότητα, ἐντὸς τῶν σωμάτων συνεσταλμένου τοῦ

13 ὅτι ... σημαίνει L 18 ἢ ὅτι ... ποιοῦσιν om. L (homoeot.) εἰσί] οἱ β (at Trap.: *sunt*) 20 ἀμφοτέρων] ἀμφοτέρας γ, edd. τῆς seclusi, coll. 946 a 7 et Theophr., *De vent.*, 57 24 ἐψυγμένος ... ἀφικνεῖται ex α β γ recepi; ἐψυγμένοι ... ἀφικνοῦνται δ Xᵃ c, edd. omn. 25-26 Cf. 942 a 20-21: ὑπὸ ὑγρότητος θερμῆς μέν, ἀλλοτρίας δέ 30 ἐστί ... (32) ἄρθροις om. L (homoeot.) 33 κωλύει κινεῖσθαι γ, Al. 34 μὲν om. Cᵃ x 35 ἢ ὅτι om. δ Q γ ὅτι τοῦ χειμῶνος om. u M Xᵃ pr. m., Al.

umide, per cui indicano che l'anno è piovoso ed umido. Ora, anni di tal genere sono insalubri: essendo infatti i corpi pieni di umori, hanno molti escreti, il che provoca le malattie.

23 Perché gli austri asciutti e non piovosi apportano febbri?[38] Non sarà perché immettono nell'organismo umidità e calore non naturali? Infatti essi sono per natura caldi ed umidi: ed è questo che provoca la febbre, la quale è dovuta all'eccesso di questi due fattori. Or quando gli austri spirano senza pioggia, causano in noi questa condizione; quando invece adducono la pioggia, questa ci raffredda. E gli austri provenienti dal mare giovano anche alle piante, ché il vento giunge ad esse rinfrescato dal mare. La ruggine delle piante invece è dovuta ad umidità e calore non connaturale.

24 Perché quando spirano gli austri ci sentiamo piú pesanti e fiacchi?[39]
La ragione non sarà che l'umidità disciolta dal calore, da scarsa diventa abbondante, ed un'umidità pesante prende il posto di un'aria leggera? Per di piú la nostra forza è nelle giunture, e queste si rilassano per l'azione dello scirocco, come dimostrano gli scricchiolii delle parti articolate. Ché il liquido sinoviale, quando si solidifica, c'impedisce di muoverci; quando è troppo fluido, non ci permette di distenderci.

25 Perché ci si ammala di piú in estate, ma gl'infermi muoiono piuttosto d'inverno?
D'inverno, poiché il calore si concentra nell'organismo per la sodezza dei tessuti e noi soffriamo di piú se non riusciamo a

38) Il probl. consta di due parti distinte: l'una, che si ritrova quasi identica in XXVI 50 (946 a 4-9); l'altra, comprendente i due periodi finali, che ricorre *ad verbum* in XXVI 17 (942 a 20-21). Per il termine ἐρυσίβαι = *aerugo, robigo plantarum* (su cui EUCHER., *Instruct.*, II C. S. E. L. 31, 1, p. 148, 15) v. THEOPHR., *Hist. plant.*, VIII 10, 2; *De caus. plant.*, II 1, 7; III 22, 2; 23, 5 e PLIN., *Nat. hist.*, XVIII 154. 39) Il probl. si ritrova in XXVI 42 (945 a 13 sqq.); per motivi simili cf. THEOPHR., *De vent.*, 56. Sugli effetti dell'austro v. *De morb. sacr.*, 13 (VI, 384 L.). Aristotele nella *Hist. anim.*, 597 b 11 lo definisce ὑγρὸς ... καὶ βαρὺς ὁ ἄνεμος e in *Meteor.*, 358 b 29, precisa: ὅ τε γὰρ νότος καὶ τῷ μεγέθει καὶ τῷ πνεύματι ἀλεεινότατος ἄνεμός ἐστι, καὶ πνεῖ ἀπὸ τόπων ξηρῶν καὶ θερμῶν, ὥστε μετ' ὀλίγης ἀτμίδος κτἑ.

θερμοῦ, καὶ πονοῦντες μᾶλλον, εἰ μὴ πέττοιμεν, τῶν ἐν ἡμῖν συνισταμένων περιττωμάτων, ἰσχυρὰν ἀνάγκη τὴν ἀρχὴν p. 862 b εἶναι τῆς νόσου; τοιαύτην δὲ οὖσαν, φθαρτικὴν εἰκός ἐστιν αὐτὴν εἶναι. ἐν δὲ τῷ θέρει, μανοῦ καὶ κατεψυγμένου παντὸς τοῦ σώματος καὶ ἐκλελυμένου πρὸς τοὺς πόνους ὄντος, ἀρχὰς νόσων ἀνάγκη πλείους μὲν γίνεσθαι διά τε κόπους καὶ ἀπεψίαν τῶν εἰσφερομένων (καὶ γὰρ οἱ νέοι καρποὶ τότε εἰσίν), ἀλλ' οὐχ οὕτως ἰσχυράς· διὸ εὐβοήθητοι.

26 Διὰ τί μετὰ τὰς τροπὰς ἀμφοτέρας μέχρι ἑκατὸν ἡμερῶν ἀποθνήσκουσι μάλιστα; ἢ ἄχρι τοσούτου ἑκατέρα ἡ ὑπερβολὴ διέχει, ἥ τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ; ἡ δὲ ὑπερβολὴ τοῖς ἀσθενέσι ποιεῖ τὰς νόσους καὶ τὰς φθοράς.

27 Διὰ τί τὸ ἔαρ καὶ τὸ φθινόπωρον νοσώδη; <ἢ> ὅτι αἱ μεταβολαὶ νοσώδεις; τὸ δὲ μετόπωρον τοῦ ἔαρος νοσωδέστερον, ὅτι μᾶλλον τοῦ θερμοῦ ψυχομένου ἢ τοῦ ψυχροῦ θερμαινομένου νοσοῦμεν. ἐν μὲν οὖν τῷ ἔαρι τὸ ψυχρὸν θερμαίνεται, ἐν δὲ τῷ μετοπώρῳ τὸ θερμὸν ψύχεται.

28 Διὰ τί ἐν τῷ χειμῶνι ἐλάττω μὲν τὰ ἀρρωστήματα ἢ ἐν τῷ θέρει, θανάσιμα δὲ μᾶλλον; ἢ ὅτι ἐν μὲν τῷ θέρει ἀπὸ μικρᾶς προφάσεως τὰ ἀρρωστήματα, ἐν δὲ τῷ χειμῶνι οὔ; πεπτικώτεροι γὰρ καὶ ὑγιεινότεροι ἡμῶν αὐτῶν· ὥστε εἰκότως τὰ ἀπὸ μείζονος προφάσεως γινόμενα, μείζω καὶ ἀναιρετικώτερα. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀθλητῶν,

37 θερμοῦ] *humido* Barth., fortasse ὑγροῦ legens in codice suo   διὰ ante τῶν Forst., Hett: non opus

862 b 2 μανοῦ] μᾶλλον L   3 τοῦ et mox καὶ om. L   πόνους] τόπους u[1] (et u[2] in mrg.: πότους ἢ κόπους)   8 ὅτι post ἢ add. Sylb.; prob. edd.: non opus. Cf. 885 b 16   11 Caput 27 hic et iterum post 28 exh. d   ἢ add. Sylb., ex latin. interpret.   12 δὲ om. d   16 μὲν post ἐν exh. γ, Al.   17 θανάσιμα ... (18) θέρει om. Q s (homoeot.)   θανάσιμα] ἀποθνήσκουσι a[m]   18 τὰ om. γ, d, Al.   19 καὶ Y[a] pr. m. suprscr. add.; om. C[a] R (at Barth.: *magis digestibiles enim et saniores*)   ὑγιειν. ἡμῶν αὐτῶν] corruptum locum diiudicat Ru., iniuria (Trap.: *melius enim digerimus sanioresque nobis ipsis sumus*)

risolvere gli escreti che in noi si accumulano, la causa della malattia è di necessità violenta e, perché tale, provoca ovviamente la morte. D'estate, invece, poiché ogni organismo è pervio, fresco e non disposto alle fatiche per rilassatezza, piú numerose risultano, di necessità, le cause di malattia per la spossatezza e la mancata elaborazione di ciò che ingeriamo (ché questo è il tempo della frutta fresca), ma esse non sono cosí violente, e perciò si possono facilmente curare.

26 Perché si ha la punta massima di mortalità nei cento giorni successivi ai due solstizi?[40]
Non si fa sentire forse fino a quel periodo l'eccesso del caldo e del freddo? E l'eccesso causa malattia e morte ai soggetti debilitati.

27 Perché la primavera e l'autunno sono insalubri?
Non sarà perché qualsiasi cambiamento causa malattie? E l'autunno è malsano piú della primavera, ché ci ammaliamo piú facilmente quando il caldo si cambia in freddo che viceversa. Ora è a primavera che il freddo si cambia in caldo e in autunno che il caldo si muta in freddo.

28 Perché d'inverno le malattie sono meno frequenti che d'estate, ma piú letali?
La ragione non sarà che d'estate le infermità sono prodotte da una piccola causa, a differenza che d'inverno? In questa stagione digeriamo piú facilmente e siamo in condizioni migliori del normale,[41] per modo che le malattie, insorgendo da una causa piú seria, sono piú gravi e letali. Questa medesima

40) Cf. Hippocr., *De aër.* cit., 11. Sulle malattie dipendenti dai solstizi cf. *Epid.*, IV 6 sqq. (V, 146 sq. L.). Anche nel *De vict.*, III 68 (VI, 604 L.) si prescrivono cibi leggeri e rinfrescanti nei giorni successivi ai solstizi.
41) Cf. anche Hippocr., *Aphor.*, II 18: « In estate e in autunno si digerisce a stento; con maggiore facilità d'inverno », e I 15 (= IV, 466 L.). Notevole nel paragrafo l'uso del termine πρόφασις come sinonimo di αἰτία. In proposito v. K. Deichgraeber, Πρόφασις. *Eine terminologische Studie*, in « Quellen u. Studien z. Geschichte d. Naturwissenschaften u. d. Medizin », III (1933), p. 209 sgg. Quanto all'espressione ὑγιεινότεροι ἡμῶν αὐτῶν, dal Ruelle ritenuta corrotta, è da dire ch'essa ricorre frequente: cf. Plat., *Resp.*, 431 A; *Lach.*, 182 C; Herodt., II 25; IV 50; VIII 137. Sul costrutto del comparativo, seguito dal genit. del pronome riflessivo, cf. Kuehner-Gerth, II 313.

καὶ ὅλως ἐπὶ τῶν ὑγιεινῶς διακειμένων ὁρῶμεν· ἢ γὰρ οὐ λαμβάνονται νόσῳ ἢ ταχὺ συναπίασιν· μεγάλης γὰρ αἰτίας δέονται.

Διὰ τί τοῦ μὲν φθινοπώρου καὶ τοῦ χειμῶνος οἱ καῦσοι 29 μᾶλλον γίνονται ἐν ταῖς ψυχραῖς ὥραις, τοῦ δὲ θέρους τὰ ῥίγη ἐνοχλεῖ, καυμάτων ὄντων; ἢ ὅτι τῶν κατὰ τὸν ἄνθρωπον ἡ χολὴ μέν ἐστι θερμόν, τὸ δὲ φλέγμα ψυχρόν; ἐν μὲν οὖν τῷ θέρει τὸ ψυχρὸν ἀναλύεται, καὶ διαχυθὲν ῥίγη καὶ τρόμους παρασκευάζει· ἐν δὲ τῷ χειμῶνι τὸ θερμὸν ὑπὸ τῆς ὥρας κρατεῖται, κατεψυγμένον. οἱ δὲ καῦσοι μᾶλλον ἐνοχλοῦσι τοῦ χειμῶνος καὶ τοῦ φθινοπώρου, ὅτι διὰ τὸ ψῦχος τὸ θερμὸν εἴσω συστέλλεται, ὁ δὲ καῦσος ἔσωθέν ἐστι καὶ οὐχ ἐπιπολῆς· εἰκότως οὖν οἱ καῦσοι ταύτην τὴν ὥραν γίνονται. καταμάθοι δ' ἄν τις τοῦτο ἀκριβέστερον ἐπὶ τῶν ψυχρολουτούντων τοῦ χειμῶνος καὶ τῶν τοῦ χειμῶνος λουομένων τῷ θερμῷ, ὅτι οἱ μὲν τῷ ψυχρῷ λουόμενοι, ἀπορριγώσαντες ὀλίγον χρόνον ἕως οὗ λούονται, τὴν λοιπὴν ἡμέραν p. 863 a οὐδὲν πάσχουσιν ὑπὸ τοῦ ψυχροῦ, οἱ δὲ τῷ θερμῷ ὕδατι χρησάμενοι δυσριγοτέρως διάγουσι. τῶν μὲν γὰρ τῷ ψυχρῷ λουομένων πυκνοῦται ἡ σὰρξ καὶ συστέλλεται εἴσω τὸ θερμόν, τῶν δὲ θερμολουτούντων ἡ σὰρξ ἀραιοῦται καὶ τὸ θερμὸν ἕως τοῦ ἔξω τόπου περισπᾶται.

22 ἢ ... (23) νόσῳ om. β, qui φθινοπώρου post ὁρῶμεν add. 24 πρὸς τὸ νοσῆσαι καὶ ἀναιρεθῆναι post δέονται a^m (etiam Trap.: *magnā namque causā opus est ut aegrotent et moriantur*) 26 δὲ post θέρους δ 28 θερμή L 29 τὸ om. δ, c 32 pr. τοῦ om. u, Al. 33 τὸ ψῦχος om. s ὁ] τὸ β (K^a_2 supra vs. add.) 35 τοῦτο post καταμάθοι γ, Al. 36 ψυχρολουτούντων δ (eras. ρ, ut vid.); ψυχρολογούντων (sic) L; ψυχρολουτρούντων cett. 38 οὗ ex β, a^m recepi λούωνται δ C^a M, Tauch.

863 a 1 τοῦ om. δ ψυχροῦ] θερμοῦ x pr. m. 3-4 τοῦ θερμοῦ L A^m 4 θερμολουτούντων δ; θερμολογούντων (sic) L; θερμολουτρούντων cett. codd., edd. 5 post περισπᾶται hunc titul. praebent codd.: Ὅσα βοηθηματικὰ (βοηθήματα X^a x a^m; βοηθητικὰ L; προβλήματα add. O^a) πρὸς ἴασιν.. Sed numeri, si δ excipias, continuantur

condizione si verifica negli atleti, e in generale negli individui fisicamente sani: essi infatti o non sono colpiti da malattie o presto muoiono, giacché si ammalano solo per una causa seria.

29 Perché d'autunno e d'inverno sono piú frequenti le iperpiressie, quando fa freddo, e d'estate i brividi di freddo destano maggiore preoccupazione, quantunque faccia caldo?[42]
Non sarà perché degli umori del corpo la bile è calda e il flemma freddo? Ora, d'estate il freddo si scioglie e, diffusosi nel corpo, provoca brividi e tremiti, mentre d'inverno il caldo è vinto dalla stagione, e quindi si raffredda. Le iperpiressie d'inverno e d'autunno sono piú moleste, perché il calore sotto la spinta del freddo si raccoglie all'interno; e l'iperpiressia si manifesta internamente e non in superficie: è quindi ovvio che insorga in questa stagione. Si può meglio osservare ciò in quelli che d'inverno si lavano con acqua fredda o calda: i primi hanno brividi fintanto che si lavano, mentre per il resto del giorno non accusano il freddo; gli altri invece restano sensibili al freddo. Ché a lavarsi con acqua fredda i tessuti si rassodano e il calore si raccoglie all'interno, mentre con acqua calda la carne si rilassa e il calore si propaga all'esterno.[43]

42) Il probl., formulato come un paradosso, viene risolto secondo la teoria dell'ἀντιπερίστασις, che rappresenta un altro punto-chiave dei *Problemi*. Cf. in merito la mia nota *Per una identificazione* cit., p. 45. Sul καῦσος (lat.: *febris ardens*; it.: *iperpiressia*) cf. XIV 3 (909 a 22). Concetti analoghi in Hippocr., *De morb.*, I 29 (VI, 198 L.). 43) Dai primi 29 probll. (e specialmente da 3, 6, 8, 9, 10-12, 17, 19-29) e dalle osservazioni, diligentemente collegate, — spesso in armonia con le dottrine ippocratiche — di come località, stagioni ed anni si differenzino ed influenzino gli organismi viventi, appare che gli antichi « giunsero a porre le basi di uno studio razionale di *epidemiologia*, che dette origine alla concezione di una costituzione epidemica dei diversi anni: concetto che fu molto fecondo e di stimolo ai grandi clinici del XVII e XVIII secolo, ed ancora ha valore per gli epidemiologi moderni ». (C. Singer, *art. cit.*, p. 248).

Τίς καταπλάσματος ἀρετή; ἢ διὰ τὸ χυτικὸν εἶναι καὶ ἂν ἱδρῶτα ποιοῖ καὶ ἀποπνοήν; 30

Τῷ δῆλον ὅταν ἔμπυον; ἢ ἐὰν καταχεομένου τοῦ θερμοῦ ἀλλαγῇ, ἔμπυον, εἰ δὲ μή, οὔ; 31

Ποῖα δεῖ καίειν ἢ ποῖα δεῖ τέμνειν; ἢ ὅσα μὲν ἔχει στόμα μέγα καὶ οὐ ταχὺ συμφύεται, ταῦτα καίειν δεῖ, ὅπως ἡ ἐσχάρα ἐκεῖ πέσῃ; οὕτω γὰρ οὐκ ἔσται ὕπουλα. 32

Τίς ἐναίμου ἀρετή; ἢ τὸ ξηραντικὸν εἶναι καὶ τῆς ἐπιούσης περιττώσεως σταλτικόν, ἄνευ ἐσχαρώσεως καὶ σήψεως τῆς σαρκός; οὕτω γὰρ ἂν ἀφλέγμαντον εἴη καὶ συμφυτικόν. μὴ ἐπιρρέοντος μὲν γάρ, ἀφλέγμαντον ἔσται, ξηρὸν δὲ ὄν, συμφύεται· ἕως δ' ἂν ὑγρορροῇ, οὐ συμφύσεται. διὰ τοῦτο οὖν δριμέα τὰ πλεῖστα, ὥστε ἀποστύφειν. 33

Ποῖα τέμνειν δεῖ καὶ ποῖα καίειν, καὶ ποῖα οὔ, ἀλλὰ 34

6 τὸ διαχυτικὸν Sylb.; prob. Tauch., Seligs., Flash. 7 ἐὰν (ἂν C² δ) ἱδρῶτα ποιῇ β δ C²; ἀνιδρωτὶ ποιῇ α; ἀνιδρωτὶ ποιῇ γ (at u² in mrg.: καὶ ἱδρῶτα ποιεῖ: prob. Flash.); ἀνιδρῶται· ποιεῖν a^{m}. Satis aliter Barth.: *propter id quod dissolutivum et indigestivum*(!) *et respirationem facit.* 8 Caput 31 cum praeced. coniunctum exh. α β γ δ, qui vero caput 38 in partes duas dividunt τῷ] τὸ C² δ ἢ ... (9) ἔμπυον om. L (homoeot.) κατεχομένου X² M u¹ c 14 συσταλτικὸν δ 15 ἀφλέγματον ἂν X² u c εἴη ... (16) ἀφλέγμαντον om. A^{m} (homoeot.); u¹ in ima pagina add. 17 συμφύεται ex β δ recepi; συμφύσεται cett. codd., edd. ἕως ... συμφύσεται (συμφύεται C² L) om. β γ (X²$_{1}$ in mrg. add.; exh. p); at Trap.: *quousque humidum influet, non consolidabitur* 18 πλεῖστα] πάντα γ (praeter X² p), Al.

30 Qual è il potere del cataplasma?[44]
O non è forse questo che, esercitando azione risolvente, può anche provocare sudore e traspirazione?

31 Da che cosa può essere diagnosticata la presenza di un ascesso?
C'è ascesso quando, versando sopra acqua calda, si verifica un cambiamento; altrimenti, no.

32 Quali processi bisogna cauterizzare e quali incidere?
Quelle ferite, che presentano margini distanziati e non cicatrizzano rapidamente, vanno cauterizzate, affinché si formi la crosta. In tal caso, infatti, non ci sarà suppurazione.

33 Quale potere ha un emostatico?[45]
Evidentemente quello di essiccare e arrestare l'afflusso della secrezione, senza crosta o sepsi dei tessuti. In tal modo la ferita sarà libera dal flemma e avviata a guarigione. Se infatti non c'è piú versamento di umore, la ferita libera da infiammazione diventa secca e si rimargina; finché continua invece il versamento di umori, non si cicatrizzerà. Perciò la piú parte dei rimedi è drastica, in modo da esercitare azione astringente.

34 Quali processi bisogna incidere e quali cauterizzare, e quali non incidere né cauterizzare, ma curare con farmaci?[46]

*) S'inizia di qui la seconda parte della sezione (in alcuni codd. fa parte a sé), che riguarda piú specificamente i rimedi; ma anch'essa rivela l'interesse vivo del Peripato per la medicina. Cf. in proposito la mia memoria *Aristotele e la medicina greca*, in « Rendiconti dell'Istituto Lombardo di Scienze e Lettere », vol. 95 (1961), pp. 141-161. 44) Sul potere e l'uso dei cataplasmi cf. *De medic.*, 12 (IX, 218 L.); *De fist.*, 10 (VI, 460 L.), ove se ne distinguono tre tipi: *rinfrescanti* (atti ad impedire il flusso); *ammollienti* o *riscaldanti*; *essiccanti* (che attirano a sé l'umore). 45) Cf. sui tipi di emostatici *De artic.*, 63 (IV, 272 L.); sulla loro applicazione *De ulc.*, 1 (VI, 402 L.). V. anche GALEN., *De meth. med.*, VI 2 (X, 387 K.). 46) Gli stessi interrogativi nel probl. 32, nel quale si dà solo risposta alle cauterizzazioni. L'enunciato, che conserva la sua validità, ricorda HIPPOCR., *Aphor.*, VII 88 (IV, 608 L.): « Ciò che le medicine non guariscono, guarisce il ferro; ciò che non guarisce il ferro, guarisce il fuoco; ciò che non guarisce il fuoco,

θεραπεύειν φαρμάκοις; ἢ τὰ μὲν ἐπὶ ταῖς μασχάλαις καὶ βουβῶσι φαρμάκῳ; μετὰ γὰρ διαίρεσιν τὰ μὲν ἐπίπονα, τὰ δὲ ἐπικίνδυνα. καίειν δὲ τὰ πλατέα τῶν φυμάτων καὶ πολὺ πρόβλημα τὰ ἔχοντα, καὶ ἐν φλεβώδεσι καὶ μὴ εὐσάρκοις· τέμνειν δὲ τὰ εἰς ὀξὺ συνηγμένα καὶ τὰ μὴ ἐν στερεοῖς.

Διὰ τί, ἐὰν χαλκῷ τις τμηθῇ, ῥᾷον ὑγιάζεται ἢ σιδήρῳ; πότερον ὅτι λειότερον, ὥσθ' ἧττον σπαράττει καὶ ποιεῖ πληγήν; ἢ εἴπερ ἀκμὴν μᾶλλον ὁ σίδηρος λαμβάνει, ῥάων καὶ ἀπαθεστέρα ἡ διαίρεσις; ἀλλὰ μὴν φαρμακῶδες ὁ χαλκός, ἡ δὲ ἀκμὴ ἰσχυρόν. τὸ μὲν οὖν εὐθὺς ἅμα τῇ τομῇ θᾶττον [τὸ φάρμακον] ποιεῖ τὴν σύμφυσιν.

20 θεραπεύειν ex Q, X[a], (in mrg.), a[m] p c recepi. Etiam Barth.: *sed curare medicinis*; om. cett. codd., edd. omn. 22-23 πολὺ πρόβλημα τὰ ἔχοντα scripsi; πολύ πρόβλ. ἔχ. a β; πολὺ (at u[a] in mrg.: πολλά) προβλήματα ἔχοντα δ γ 25 τμηθῇ τις L 28 ἀπαθέστερον L r 29 ἀκμὴ ex δ a[m] recepi; ἀρχὴ cett. codd., edd. ἰσχυρά δ γ, Al. τὸ μὲν οὖν ex γ scripsi; τὸ οὖν cett. codd., Ru.; τῷ οὖν Bekk. 30 τὸ φάρμακον utpote ad τὸ μὲν glossema delendum σύμφυσιν] φύσιν γ (praeter X[a], a[m] p), Al., vet. edd.

Vanno curati coi farmaci gli ascessi alle cavità ascellari e all'inguine. Dopo il taglio, infatti, in queste zone alcune volte c'è piú dolore, altre volte maggior pericolo. Le escrescenze a base larga e quelle molto sporgenti, situate nelle parti vascolarizzate e non carnose, devono essere cauterizzate; incise invece le peduncolate e quelle insorgenti su parti non solide.

35 Perché un'incisione praticata col bisturi di rame guarisce piú facilmente di quella praticata col bisturi di ferro?[47]
Forse perché il rame è piú levigato, e quindi sfrangia e lede di meno?
Ovvero, dato che il ferro prende meglio l'affilatura, è l'incisione (fatta col bisturi di ferro) che risulta piú facile e provoca meno dolore? Ma il rame ha potere medicamentoso, e la sua affilatura contribuisce a dare forza al bisturi, e pertanto immediatamente, nel momento stesso del taglio, la proprietà medicamentosa rende la cicatrizzazione piú rapida.[48]

si deve ritenere inguaribile ». Anche l'abbinamento *incidere-cauterizzare* è frequente nella *Collectio Hippocr.*: cf. soprattutto *De morb.*, III 16 (VII, 154 L.); *Progn.*, 18 (II, 164 L.); *Aphor.*, VI 27 (IV, 570 L.), VII 44, 45 (IV, 580 L.). Qui, rispetto al probl. 32, si prospetta anche un altro trattamento, quello coi farmaci. Può essere interessante riportare, per un parallelo, le istruzioni che si leggono nell'*Ebers Papyrus*, pertinenti alla medicina egizia: « Quando t'imbatti in un tumore della carne, in qualsiasi parte del corpo di una persona, e ti accorgi che esso forma una callosità, che è tumido e ti sfugge sotto il dito (a meno che tu lo tenga fermo), perché ne fuoriesce un umore, dovrai dire: È un tumore della carne. Curerò questo male. Cercherò di guarirlo col fuoco, come guarisce il cauterio. Quando t'imbatti in un tumore che abbia intaccato un vaso, formando un'escrescenza che sotto il tuo dito è dura come pietra, dovrai dire: È un tumore dei vasi. Curerò la malattia col coltello ». 47) Per l'interpretazione del probl. cf. PLUTARCH., *Quaest. conviv.*, 659 D, dove si fa espresso riferimento a questo paragrafo. Non pare l'abbia compreso il SELIGSOHN, *op. cit.*, p. 100 sg., il quale a torto ritiene che qui si parli di ferite prodotte da bronzo o ferro. 48) Questa seconda soluzione, che corregge la prima, non pare sia stata intesa dai vari interpreti. Poiché il ferro si può meglio affilare — l'A. argomenta — l'incisione col bisturi di ferro è meno dolorosa. Invece il bronzo cura come tale (che il bronzo avesse potere medicamentoso si legge anche in IX 6 (890 a 27) e in *Mirab. auscult.*, 834 b 30; «esso si trova altresí prescritto nel *Corpus Hippocr.* in stati fisici vari, e in forme medicamentose diverse» PICCININI, *I medicamenti d'Ippocrate*, cit., p. 19). In altri termini, non è il tipo del taglio, ma il materiale con cui si effettua l'incisione che favorisce una rapida guarigione.

Διὰ τί δὲ καὶ τὰ χαλκῷ καύματα θᾶττον ὑγιάζεται; ἢ ὅτι μανότερον καὶ ἧττον σωματικόν; ἐν δὲ τοῖς στερεωτέροις πλείων ἡ θερμότης. 36

Πότερον ἡ πτισάνη κουφοτέρα ἡ κριθίνη καὶ βελτίων πρὸς τὰ ἀρρωστήματα ἢ ἡ πυρίνη; δοκεῖ γάρ τισιν αὕτη p. 863 b σημεῖον ποιουμένοις τοὺς μεταχειριζομένους, ὅτι πολὺ εὐχρούστεροι οἱ περὶ τὴν τῶν ἀλεύρων ἐργασίαν ἢ τὴν τῶν ἀλφίτων. ἢ ὅτι ὑγρότερον ἡ κριθή; τὸ δὲ ὑγρότερον πλέονος πέψεως. ἢ οὐθὲν κωλύει ἔνια ἔχειν δυσπεπτότερα καὶ ἔνια πρὸς κουφότητα χρησιμώτερα; οὐ γὰρ μόνον ὑγροτέρα ἐστὶν ἡ κριθὴ τοῦ πυροῦ, ἀλλὰ καὶ ψυχροτέρα. δεῖ δὲ τὸ ῥόφημα καὶ τὸ προσφερόμενον τοιοῦτον εἶναι τῷ πυρέττοντι, ὃ τροφήν τε βραχεῖαν ποιήσει καὶ καταψύξει. ἡ δὲ πτισάνη τοῦτο ἔχει ἡ κριθίνη· διὰ γὰρ τὸ ὑγρότερον ἢ σωματωδέστερον εἶναι, ὀλίγον δίδωσι, καὶ τοῦτο ψυκτικόν. 37

31 δὲ καὶ om. L; solum καὶ δ   χαλκῷ καύματα ex X^a a^m p recepi; διὰ χαλκοῦ καύμ. u^a in mrg.; prob. Bekk., Bussm., Ru.; κάτω καύματα cett. codd.; alii alio modo vert. latini interpr.   32 τὸ ante σωματικόν β   34 βελτίω α β; βέλτιον (et antea κουφότερον) L

863 a 1 πολὺ] πολλοὶ L A^m C^a 3 ἢ ex δ scripsi; εἶθ' cett. codd., edd.   pr. ὑγρότερον] ὑγροτέρα legisse videtur Barth.; prob. Bekk., Bussm. πλέονος X^a, in mrg.; πλέον οὐ cett. codd. (at Trap.: *humidius minus digestibile*)   <δεῖται> Sylb., <οὔσης> Ru. post πλέονος, perperam   4 ἔνια] ἅμα Gohlke, falso   9 διὰ] δεῖ L

36 E perché anche le ustioni da rame guariscono piú presto? La ragione non sarà che il rame è piú levigato e meno compatto del ferro[49]? E nei corpi il calore è proporzionale alla compattezza.

37 Per la cura delle malattie è piú leggera e indicata la tisana d'orzo[50] o quella di frumento? A taluni pare sia preferibile quest'ultima e adducono come prova quelli che manipolano questi due tipi di cereali: di essi colorito migliore hanno coloro che macinano il frumento.[51]
Non sarà perché l'orzo è piú ricco di umori, e una sostanza quanto piú è umida tanto piú è di digestione laboriosa?
Ovvero nulla impedisce che l'orzo contiene alcune sostanze piú difficili a digerirsi ed altre piú atte ad alleviare la malattia? L'orzo infatti non solo è piú umido del frumento, ma anche piú freddo. E ciò che sorbiamo o ingeriamo deve poter blandamente nutrire e raffreddare il febbricitante. E la tisana d'orzo ha queste proprietà: per essere infatti piú liquida che solida, dà nutrimento blando, e per giunta raffredda.

49) Cosí, oltre ad essere il mezzo migliore per incidere, il bronzo cauterizza anche meglio del ferro, perché piú levigato (cf. *supra* λειότερον e, per concetto analogo, *Meteor.*, 386 b 18). Da rilevare che l'inciso finale ricorre in *Phys.*, 260 b 7 sqq. 50) La tisana d'orzo (su cui cf. GALEN., *De aliment. facult.*, 1, 9), che al dire del PUCCINOTTI, *Storia della medicina*, Livorno 1855, si può somministrare *a paiolate* senza inconvenienti, costituiva per la medicina antica il principale rimedio nelle malattie acute (sul suo uso cf. *De vict. acut.*, 3 sq.). La decozione poteva essere *intera* (ὅλη πτισάνη), cioè non decantata e contenente grani d'orzo cotti, o *filtrata* (χυλός); e Ippocrate la prescrive spesso in questa forma di mucillagine pura. Il PICCININI, *art. cit.*, p. 28, precisa ch'essa venne usata nella cura delle malattie sia come bevanda stimolante, a guisa del nostro brodo, sia come alimento. Anzi il Robert opina che la tisana era forse da considerare come una leggera pozione alcolica, analoga al Kwass, bevanda popolare russa, perché non è improbabile che in questo decotto di orzo e di miele si manifestasse un principio di fermentazione alcolica. In tal caso — commenta il BENEDICENTI, *op. cit.*, p. 117 — l'uso di somministrare tisane nelle malattie acute corrisponderebbe ad un leggero trattamento alcolico, e sarebbe del tutto giustificato. 51) L'osservazione si legge in XXI 24 (929 b 26) e in XXXVIII 10 (967 b 19), ma in forma di problema.

Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; ἢ ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει; φανερὰ δὲ αὕτη μασωμένοις τε, καὶ ἐὰν συντεθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. τὸ δὲ γλίσχρον, εἰσδυόμενον, ἐξάγει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενής, ἡ ὀξύτης σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυμός. ὁ δὲ ἅλς συντήκων ἐξάγει καὶ τὴν ὀξύτητα. διὰ τί οὖν ἡ κονία καὶ τὸ νίτρον οὔ; ἢ ὅτι στύφει καὶ οὐ τήκει; 38

Διὰ τί τοὺς μὲν θερινοὺς κόπους λουτρῷ ἰᾶσθαι δεῖ, τοὺς δὲ χειμερινοὺς ἀλείμμασιν; ἢ τοὺς μὲν ἀλείμματι διὰ τὰς φρίκας καὶ τὰς γενομένας μεταβολάς; θέρμη γὰρ λύειν δεῖ, ἣ ποιήσει ἀλεάζειν· τὸ δ' ἔλαιον θερμόν. ἐν δὲ τῷ θέρει καθυγραίνειν· ἡ γὰρ ὥρα ξηρά, καὶ οὐ φοβεραὶ αἱ φρῖκαι διὰ τὴν εἰς ἀλέαν ἔκκλισιν. ὀλιγοσιτία δὲ καὶ κωθωνισμὸς θέρους, τὸ μὲν ὅλως, τὸ δὲ μᾶλλον· ὁ μὲν 39

12 μασωμένης c (at c[1] in mrg. recte -μένοις) 13 συντεθῇ] συνθλασθῇ u[1] in mrg.; prob. Bekk., Ru. 14 δὲ] δὴ δ, edd. 15 τὴν αἱμωδίαν (αἱμασίαν C[a] X[a]₂ in mrg.) post ὀξύτης exh. X[a] a[m] p. Etiam Barth.: *quia cognata acuitas, congelationem dentium significat* τινα om. γ (at exh. X[a]₂ in mrg., p), Al. 17 διὰ ... (18) τήκει om. L ἡ om. u; supra vs. add. X[a]₂ λίτρον α r (r[2] in mrg. νί); λύτρον (sic) t 19 μὲν om. γ (praeter X[a] a[m] p) κόπους] τόκους x pr. m. 20 pr. ἀλείμμασι] ἀλείμματι Bekk., Bussm. ἀλείμμασι ... μὲν om. c ἀλείμματι] ἀλείμμασι δ X[a] 21 γινομένας δ γ, Al.; prob. Bekk., Bussm. 22 λύειν L A[m] u[2], edd.; λούειν cett. codd. 24 αἱ om. γ (at exh. X[a]₂ in mrg., p) εἰς om. Y[a] C[a] u (u[2] in mrg.: πρὸς) καὶ om. X[a] r c; in mrg. add. u[2]

38 Perché la portulaca e il sale arrestano l'allegamento dei denti?[52]
Non sarà perché la portulaca contiene una certa dose di umore? Questo appare evidente a chi la mastichi o la sprema per un po': ché vien fuori il latice. E questo liquido viscoso, penetrando tra le gengive, elimina l'acidità. E che la portulaca sia affine con l'allegamento è provato dall'acidità: il suo succo infatti contiene una certa acidità. Il sale, poi, sciogliendosi elimina parimenti l'acidità.
E perché non hanno lo stesso effetto la liscivia e il nitro? Perché sono sostanze astringenti e non risolventi.

39 Perché bisogna curare la stanchezza estiva con bagni e quella invernale con unzioni?[53]
Quest'ultima va curata con unzioni a causa dei brividi di freddo e delle conseguenti modificazioni dell'organismo. Il freddo infatti deve essere risolto dal caldo, il quale dia al corpo un certo grado termico; e l'olio ha proprietà calorifiche. D'estate, invece, c'è bisogno di umido, ché la stagione è secca e non preoccupano i brividi di freddo per la naturale tendenza dell'organismo al caldo. Mangiar poco e bere molto è proprio dell'estate: il bere lo è in senso assoluto, il mangiare in senso

52) Il probl. ricorre identico in VII 9 (887 b 1 sqq.) e nei *Problemata* ps.-alessandrini (Ideler, p. 4), dove si accentua il motivo che la guarigione avviene mediante una sostanza di uguale natura. Sull'αἱμωδία, il cui preciso valore non sempre è stato compreso dagli interpreti (cf. *Gloss.*, *s. v.*), v. Ps.-Galen., *In Hippocr. de hum.*, II 32 (XVI, 331 K.) e *De loc. affect.*, II 7 (VIII, 86 K.). Sulla *portulaca* come rimedio cf. Galen., *De opt. sec. ad Thras.*, 10 (I, 127 K.) e Dioscor., II 124 (W.). Sul *sale* cf. il commento del Tassoni, *op. cit.*, p. 211. Quanto al *nitro* è opportuno ricordare che esso non corrisponde, secondo Ippocrate e gli autori latini, al nostro salnitro, ma ad un carbonato potassico impuro. Le sue molte indicazioni per uso esterno e le sue preparazioni erano dirette tutte ad ottenere effetti astringenti.
53) Il probl. ricorre identico in V 38 (884 b 36 sqq.) e sostanzialmente si ritrova in Theophr., *De lassit.*, 17, dov'è introdotto con queste parole: κελεύουσι δέ τινες, nelle quali il Flashar, *Anmerk.*, p. 412, crede di vedere un richiamo a Diocle. Non mi pare sia il caso di determinazioni specifiche, ché « negli asclepiei greci era usatissima la terapia basata su bagni, esercizi ginnici, massaggi » (K. Walker, *Storia della medicina* (ed. it.), Milano 1958, p. 25).

πότος θέρους ὅλως, διὰ τὴν ξηρότητα, ἡ δὲ ὀλιγοσιτία κοινὸν μέν, μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

Διὰ τί τῶν φαρμάκων τὰ μὲν τὴν κοιλίαν λύει, τὴν 40
δὲ κύστιν οὔ, τὰ δὲ τὴν μὲν κύστιν λύει, τὴν κοιλίαν δὲ οὔ; ἢ ὅσα μέν ἐστιν ὑγρὰ τὴν φύσιν καὶ ὕδατος μεστά, ταῦτα, ἂν ᾖ φαρμακώδη, λύει τὴν κύστιν; ἐκεῖ γὰρ ὑφίσταται τὰ ἄπεπτα τῶν ὑγρῶν· ὑποδοχὴ γάρ ἐστιν ἡ κύστις τοῦ μὴ πεττομένου ὑγροῦ ἐν τῇ κοιλίᾳ, ὃ οὐ μένει, ἀλλὰ πρὶν ποιῆσαί τι ἢ παθεῖν ὑποχωρεῖ. ὅσα δὲ ἐκ γῆς τὴν φύσιν ἐστίν,
p. 864 a ἂν ᾖ φαρμακώδη, ταῦτα δὴ τὴν κοιλίαν λύει· εἰς ταύτην γὰρ ἡ φορὰ τῶν γεωδῶν. ὥστε, ἂν ᾖ κινητικόν, ταράττει.

Διὰ τί δὲ τὰ μὲν τὴν ἄνω κοιλίαν, τὰ δὲ τὴν κάτω 41
κινεῖ, οἷον ἐλλέβορος μὲν τὴν ἄνω, σκαμμωνία δὲ τὴν κάτω, τὰ δὲ ἄμφω, οἷον ἐλατήριον καὶ τῆς θαψίας ὁ ὀπός;

26 τόπος β; ποτὸς (adiect.) Q δ γ, edd. vet. 27 ἐκθερμαίνεται ... (28) σιτίων non vertit Trap. 31 μετὰ β (at Trap.: *aquae plena*) 32 ἐκεῖ γὰρ om. L 33 ἄπεπτα β (unde Trap.: *indigestibilia*) X[a], u[2] in mrg., p; ἄσηπτα α (Barth.: *imputrida*) δ γ; ἄσηπτα (ἢ ἄπεπτα) a[m]. Cf. Galen., *In Hippocr. Aphor.*, VI 1 (XVIII A 8 K.): παλαιά τις ἦν συνήθεια τούτοις τοῖς ἀνδράσιν ἄσηπτα καλεῖν, ἅπερ ἡμεῖς ἄπεπτα λέγομεν 34 ὃ X[a], supra vs. add.; ὅπερ u[2] in mrg.; om. α γ; δὶς β

864 a 1 δὴ scripsi ex Barth.: *utique*; δὲ cett.; exp. u εἰς ... (2) ταράττει om. C[a] (homoeot.) κινητόν u c, Al. 5 θαψίας] ἀλθέας L

relativo; e il bere d'estate è richiesto in senso assoluto a causa della secchezza della stagione, mentre il mangiar poco è norma comune di tutte le stagioni, ma piú necessario d'estate, giacché allora, a causa della stagione, si è riscaldati in misura maggiore dai cibi.

40 Perché alcuni farmaci agiscono sull'intestino ma non sulla vescica, ed altri viceversa?[54]
Non sarà perché le sostanze per natura umide e ricche d'acqua, se hanno proprietà medicamentose, sono diuretiche? Nella vescica infatti si depositano i residui liquidi, ché questa è il ricettacolo degli umori non elaborati nello stomaco, i quali non vi rimangono, ma vengono escreti prima di causare o subire modificazioni. Per contro le sostanze di natura terrosa, fornite di proprietà terapeutiche, agiscono sull'intestino (in esso infatti si accumulano le sostanze terrose): e quindi, se un farmaco stimola la peristalsi, causa alterazioni.

41 Perché alcuni farmaci — ad es. l'elleboro — sono emetici, altri — come la scamonea — sono purgativi, ed altri — come l'elaterio e il succo di tapsia[55] — agiscono sui due tratti intestinali?

54) Il concetto-base del probl. (un medicinale secco opera solo sul secco e uno umido solo sull'umido) si trova in *Hist. anim.*, 489 a 7 sqq. Sulla farmacoterapia ippocratica, cui qui si riferiscono i probll. 40-43; 47-49, cf. G. M. Piccinini, *Passi ippocratici riguardanti la farmacologia generale ancora di pieno valore moderno*, in « Rendiconti ed Atti della R. Accad. di Scienze mediche e chirurg. », (1946), pp. 137-511. Opportuno ricordare che il termine κοιλία comprende ἡ ἄνω e ἡ κάτω κοιλία e designa a volte *lo stomaco*, a volte *il ventre*, altre volte *l'intestino*. Cf. Bon., *Ind.*, 395 b 44-398 b 15.
55) Sulle varie droghe vegetali qui menzionate (*elleboro*, per lo piú usato come vomitivo (*De vict. acut.*, 21, 25) nelle due specie di nero e bianco; *scamonea*, identificabile col *Convolvulus sagittifolius Sibth*, prescritto tanto in radice che in succo resinoso; *elaterio*, drastico energico, come ricorda Galen., *De simpl. medic. facult.*, 8, 15 (XII, 122 K.); *tapsia*, della famiglia delle ombrellifere, tipicamente mediterranea, usata (*De morb.*, III 15) come purgativo e revulsivo) cf. quanto all'etimologia A. Carnoy, *Noms grecs de plantes. Etymologies nouvelles*, in « Rev. des étud. gr. » LXXI (1958), p. 91 sgg.; quanto alla descrizione e agli usi il prezioso *Dizionario delle Droghe semplici* di Niccolò Lemery (trad. it.), Venezia 1751, ancor oggi di grande utilità. Sulla prescrizione ancora attuale di alcune di esse v. Piccinini, *I medicamenti d'Ippocrate* cit., p. 9 sgg.

ἢ ὅτι τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρὰ τῶν φαρμάκων τῶν τὴν κοιλίαν κινούντων, ὥστε τὰ μὲν διὰ τὴν θερμότητα, καὶ εὐθὺς ἐν τῇ ἄνω κοιλίᾳ ὄντα, φέρεται ἐξ αὐτῆς πρὸς τὸν ἄνω τόπον, κἀκεῖθεν συντήξαντα μάλιστα μὲν τὰ ἀλλοτριώτατα καὶ ἥκιστα συμπεφυκότα, ἂν δὲ ἰσχυρὸν ᾖ τὸ φάρμακον ἢ πλέον δοθῇ τῆς φύσεως, κατάγει εἰς τὴν ἄνω κοιλίαν ταῦτά τε καὶ ἐάν τι περίττωμα ᾖ, καὶ διὰ τὴν θερμότητα ταράττον τὸ πνεῦμα πολὺ γινόμενον ὑπ' αὐτοῦ, προσιστάν, τοὺς ἐμέτους ποιεῖ. τὰ δὲ ψυχρὰ τὴν φύσιν αὐτῶν διὰ βάρος, καὶ πρὶν παθεῖν τι ἢ ποιῆσαι, κάτω φέρεται, κἀκεῖθεν ὁρμῶντα τὸ αὐτὸ δρᾷ τοῖς ἄνω· κατὰ γὰρ τοὺς πόρους ἀνιόντα ἐκεῖθεν, καὶ κινήσαντα ὧν ἂν κρατήσῃ περιττωμάτων καὶ συντηγμάτων, λαβόντα, τὴν αὐτὴν ἄγει ὁδόν. ὅσα δὲ ἀμφοῖν μετέχει καὶ ἐστὶ μικτὰ τῶν φαρμακωδῶν ἐκ θερμοῦ καὶ ψυχροῦ, ταῦτα δὴ δι' ἑκατέραν τὴν δύναμιν ἀπεργάζεται ἄμφω, ὥσπερ καὶ νῦν σκευάζουσιν οἱ ἰατροὶ μιγνύντες ἀλλήλοις.

Διὰ τί τὰ φάρμακα καθαίρει, ἄλλα δὲ πικρότερα ὄντα 42
καὶ στρυφνότερα, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ὑπερ-

6 θερμά, τὰ δὲ u° in mrg. add.; om. β 7 τὰ δὲ θερμά, τὰ δὲ ἄμφω post κινούντων Xª₂ in mrg., aᵐ p καὶ ex β (etiam Xª₂ supra vs. add.) aᵐ p recepi 8 αὐτῆς] αὐτοῦ Aᵐ 9 τἀκεῖθεν Ross, Forst.: non opus μὲν] δὲ Forst. 11 κατάγει] ἀνάγει Xª₂ in mrg., aᵐ p: prob. Bekk. 12 τι Sylb.; τὸ codd. alt. καὶ] ἢ c 13 προσιστάν] προσιστᾶν δ γ, Al. 14 φύσιν ὄντα Aᵐ; τὴν φύσιν ψυχρὰ διὰ τὸ βάρος αὐτῶν c 15 ποιήσειν α (at Barth.: *priusquam patiantur aliquid aut faciant*) γ, Al. (ποιῆσαι p) 16 κατὰ γὰρ ... 19 ὁδόν] Satis abest a graeco exemplari Barth.: *inferius autem poros aperientia exinde et moventia, quibus dominabuntur superfluitatibus et dissolutionibus, accipientia eandem terrestritatem*(?) 20 δὴ scripsi; δὲ codd., edd., perperam ἑκατέρου β aᵐ 21 δύναμιν] φύσιν aᵐ σκευάζουσιν] κατασκευάζουσιν Cª; παρασκευάζουσιν edd., falso 22 ἀλλήλοις μιγνύντες L 23 πικρότερα] πυκνότερα δ (Barth.: *densiora*) 24 alt. τοῖς om. L

Dei farmaci che agiscono sull'intestino alcuni sono caldi, altri freddi, ed altri caldi e freddi; ora gli uni a causa del calore, non appena arrivano nello stomaco, si portano di qui nella parte superiore dopo avervi liquefatto i materiali piú eterogenei e meno fondibili; e se il farmaco è efficace o è stato somministrato in dose superiore al limite di tolleranza, trasporta nello stomaco sia questi materiali che le eventuali scorie, e grazie al suo calore sommovendo l'aria che per suo effetto si è raccolta copiosa e determinandone il ristagno, provoca il vomito. Quelli freddi a causa del loro peso si portano verso il basso ancor prima di subire o provocare alterazioni, e di qui movendo producono lo stesso effetto di quelli caldi: ché salendo da questo punto attraverso i dotti e sommovendo quei residui e materiali liquidi, sui quali riescono a prevalere, seco li trasportano per la stessa strada. I farmaci che partecipano di entrambe le qualità e risultano misti di caldo e di freddo, producono, per questo duplice potere, ambedue gli effetti: e sono i farmaci composti[56] che ancor oggi i medici preparano.

42 Perché i farmaci hanno azione evacuante,[57] a differenza di altre sostanze, che sono piú amare ed astringenti, e superiori per altre consimili qualità?

56) Anche qui, come nel *Corpus Hippocr.*, i medicamenti sono suddivisi in *semplici* (ἁπλὰ φάρμακα) e *composti* (φάρ. μεμιγμένα): i semplici, poi detti *droghe* da un vocabolo del tardo Medioevo, designanti sostanze grezze preformate in natura, e i composti, risultanti, come anche oggi, dall'unione di due o piú medicamenti semplici, compiuta secondo date regole, caso per caso.
57) Veramente catartici (καθαίροντα) sono i vari gruppi terapeutici dei farmaci, per cui il termine non è sinonimo di purganti (come poi è divenuto presso noi moderni), ma designa qualsiasi farmaco capace di far uscire dal corpo, attraverso qualunque via escretoria, materiali estranei. Perciò καθαίρει meglio si traduce *evacuano* (un purgante come un emetico; un sudorifero o un diuretico sono ognuno un evacuante). Nello stesso senso va inteso, *infra*, il sostantivo κάθαρσις = *evacuazione*. Queste voci, come nella dottrina ippocratica, racchiudono il significato di *espurgare*, *ripulire*, *sgombrare il corpo dalle sostanze superflue* (τὸ περιττόν) *ed estranee* (τὰ ἀλλότρια). In relazione alle vie di escrezione i farmaci evacuanti, secondo la classificazione del Piccinini, *art. cit.*, p. 20 sg., si distinguono in:
a) farmaci *dal basso* (cioè che agiscono dal basso), ovvero purgativi;
b) farmaci *dall'alto* (che fanno espellere all'insú), cioè emetici;
c) farmaci *diuretici*, che favoriscono la secrezione urinaria;

βάλλοντα, οὐ καθαίρει; ἢ διότι οὐ διὰ τὰς τοιαύτας δυνάμεις καθαίρει, ἀλλ' ὅτι ἄπεπτά ἐστιν; ὅσα γὰρ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος, μικρὰ ὄντα τοὺς ὄγκους, ἄπεπτά ἐστι καὶ οἷα κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι ὑπὸ τῆς τῶν ζῴων θερμότητος, εὐδιάχυτα ὄντα ὑπὸ τῶν δύο κοιλιῶν, ταῦτα φάρμακά ἐστιν. ὅταν γὰρ εἰς τὴν κοιλίαν εἰσέλθωσι καὶ διαχυθῶσι, φέρονται καθ' οὕσπερ πόρους ἡ τροφὴ εἰς τὰς φλέβας· οὐ πεφθέντα δέ, ἀλλὰ κρατήσαντα, ἐκπίπτει φέροντα τὰ ἐμπόδια αὐτοῖς· καὶ καλεῖται τοῦτο κάθαρσις. χαλκὸς δὲ καὶ ἄργυρος καὶ τὰ τοιαῦτα ἄπεπτα μέν ἐστιν ὑπὸ τῆς τῶν ζῴων θερμότητος, ἀλλ' οὐκ εὐδιάχυτα ταῖς κοιλίαις. ἔλαιον δὲ καὶ μέλι καὶ γάλα καὶ τὰ

p. 864 b τοιαῦτα τῆς τροφῆς καθαίρει, [ἀλλ'] οὐ τῷ ποιῷ, ἀλλὰ τῷ ποσῷ· ὅταν γὰρ διὰ πλῆθος ἄπεπτα γένηται, τότε καὶ καθαίρει, ἄνπερ καὶ καθαίρῃ. διὰ δύο γὰρ αἰτίας ἄπεπτά ἐστιν, διὰ τὸ ποιὰ αὐτὰ εἶναι καὶ διὰ τὸ ποσά. διόπερ οὐ φάρμακόν ἐστιν οὐδὲν τῶν εἰρημένων· οὐ γὰρ διὰ δύναμιν καθαίρει. στρυφνότης δὲ καὶ πικρότης συμβέβηκεν τοῖς φαρμάκοις καὶ δυσωδία, τῷ ἐναντίον εἶναι [τῇ] τροφῇ τὸ φάρμακον. τὸ μὲν γὰρ πεφθὲν ὑπὸ τῆς φύσεως, τοῦτο προσφύεται τοῖς σώμασι καὶ

26 ὅσα ... (28) ἐστι om. γ (homoeot.); at exh. X^a_s in mrg., p 31 πόρους post οὕσπερ posui (cf. Barth.: *secundum quos poros nutrimentum fertur*); post τροφὴ codd., edd. omn. 32 φέρεται post φλέβας add. X^a_s in mrg., a^m p; ante φλέβας legisse videtur Barth. 33 τὰ om. γ, Al. 35 ἐνδιάχυτα δ; at ἐκδιαχύοντα (sic) L

864 b 1 prius ἀλλ' seclusi 2 διὰ om. L A^m καὶ codd.; om. edd., sine causa 3 καὶ β, X^a_s in mrg., a^m p; om. cett. codd., edd. omn. 4 καὶ ex β, u^a recepi; ἢ cett. codd., edd. 5 οὐ] οὐδὲ γ, Al., edd. 6 πυκνότης L 7 τῇ exh. γ; om. cett.; seclusi

Non sarà perché la loro azione evacuante è dovuta non a tali qualità, ma al fatto che essi sono indigeribili? Infatti le sostanze che per eccesso di caldo o di freddo, pur essendo piccole di volume, non vengono digerite ed hanno potere di vincere e non di essere vinte dal calore naturale, ove siano facilmente risolte dalle due cavità, costituiscono farmaci. Quand'essi infatti entrano nello stomaco e vengono risolti, passano nei vasi attraverso gli stessi dotti del cibo; e non essendo assimilati, ma avendo il sopravvento, discendono nell'intestino seco trasportando i materiali che trovano lungo il loro corso: e ciò si chiama evacuazione. Ma il rame, l'argento e le sostanze simili non possono essere trasformati dal calore organico, e quindi non vengono facilmente risolti dai due tratti del tubo gastroenterico. Per contro l'olio, il miele, il latte ed altre sostanze consimili hanno azione evacuante in forza non della qualità, ma della quantità:[58] quando infatti non possono essere digeriti perché in dose eccessiva, allora anch'essi agiscono da purganti, ammesso che lo possano. Ché due sono le cause che rendono indigeribili gli alimenti: la qualità e la quantità. E perciò dei cibi su menzionati nessuno costituisce farmaco, perché purga non per la sua qualità. Il potere astringente, il sapore amaro e l'odore sgradevole sono propri dei farmaci, giacché un farmaco è il contrario del cibo. Ciò che infatti vien digerito per processo naturale è assimilato dal corpo e dicesi nutrimento; ciò che invece non

d) farmaci *idrotici* (o *diaforetici*), che provocano il sudore;
e) farmaci *errini* (= i nostri starnutatori) che, introdotti nelle narici, favoriscono la purgazione della testa lungo la via del naso, che gli antichi ritenevano in comunicazione col cervello. E queste specie, *passim* ricorrenti nei *Problemata*, non sempre sono state rettamente individuate dagli interpreti.

58) Anche nel *De purg. remed.* il concetto di farmaco è posto in relazione con quello di alimento, e gli alimenti stessi possono in condizioni speciali o in rapporto alla dose essere *pharmaca purgantia*. Ed è innegabile che sia così. Cf. G. M. Piccinini, *Farmacologia sperimentale*, Napoli 1948, p. 6.

καλεῖται τροφή· τὸ δὲ μὴ πεφυκὸς κρατεῖσθαι, εἰσιόν τε εἰς τὰς φλέβας καὶ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος ταράττον, αὕτη δὴ φαρμάκου φύσις ἐστίν.

Διὰ τί τὸ μὲν πέπερι, πολὺ μὲν ὄν, τὴν κύστιν λύει, ὀλίγον δέ, τὴν κοιλίαν· ἡ δὲ σκαμμωνία, πολλὴ οὖσα, τὴν κοιλίαν λύει, ὀλίγη δὲ καὶ παλαιά, τὴν κύστιν; ἢ διότι ἑκάτερον ἑκατέρας ἐστὶ κινητικώτερον; τὸ μὲν γὰρ πέπερι οὐρητικόν ἐστιν, ἡ δὲ σκαμμωνία κατωρετικόν. τὸ μὲν οὖν πέπερι, πολὺ μὲν ὄν, φέρεται εἰς τὴν κύστιν καὶ οὐ διαχεῖται ἐν τῇ κοιλίᾳ· ὀλίγον δὲ ὄν, κρατηθέν, διαλύει, καὶ γίνεται φάρμακον αὐτῆς. ἡ δὲ σκαμμωνία, πολλὴ μὲν οὖσα, εἰς τοῦτο κρατεῖται ὥστε διαχυθῆναι· διαχυθεῖσα δὲ γίνεται φάρμακον, διὰ τὴν εἰρημένην ἐν τοῖς ἀνωτέρω αἰτίαν· ὀλίγη δὲ οὖσα, μετὰ τοῦ ποτοῦ ἀναπίνεται εἰς τοὺς πόρους, καὶ ταχύ, πρὶν ταράξαι, καταφέρεται εἰς τὴν κύστιν, καὶ ἐκεῖ τῇ αὐτῆς δυνάμει ἀπάγει τὰ περιττώματα καὶ τὰ συντήγματα ὅσα ἐπιπολῆς ἐστίν. ἡ δὲ πολλή, ὥσπερ εἴρηται, διὰ τὴν ἰσχὺν πολὺν χρόνον ἐμμείνασα, κατάγει πολλὴν κάθαρσιν καὶ γεώδη. 43

9 εἰσιόν τε Ru.; εἰσιόντα Y[a] C[a]; εἰσιὸν δὲ cett. 10 ψυχρότητος ἢ θερμότητος C[a] 11 ταράττον] ταράττει β (etiam Barth.: *perturbat*) δὴ scripsi; δὲ codd., edd. omn. 15 ἑκατέρου Sylb. κινητικωτέρα γ, Al.; κινητικώτερα Bekk., Bussm. 16 οὐρητικόν ... (17) πέπερι om. ι (homoeot.) μᾶλλον post ἐστιν u[2] in mrg. κατωρετικόν codd., praeter L (καταρυτικόν); Barth.: *deorsum ferens*; κατωτερικόν legisse videtur Trap.: *alvi solutivum*: prob. Bussm., Ru.; καθαρτικόν Sylb., Bekk., Hett. An potius καταρρηκτικόν? 18 εἰς τὴν κοιλίαν L A[m] (unde Th. G.: *nec se in alvum diffundit*); at recte x B 20 διαχυθεῖσα] διαχυθὲν α β δ (at Barth.: *dissoluta*, et Trap.: *cum diffusa fuerit*) 22 τοὺς exh. X[a], supra vs., a[m] p 25 ἐξ ἐπιπολῆς Bekk.

viene naturalmente assimilato e penetrando nei vasi provoca alterazioni per eccesso di caldo o di freddo, rientra nella natura di un farmaco.[59]

43 Perché il pepe, preso in forte quantità, esplica azione diuretica e in piccola dose azione evacuante; e perché la scamonea, in alta dose, è evacuante, in piccola quantità e stagionata, è diuretica?

Non sarà perché ognuna delle due sostanze ha piú dell'altra un'azione locale? Il pepe infatti è diuretico e la scamonea purgativa:[60] quindi il pepe, se preso in alta dose, passa nella vescica, ma non si risolve nell'intestino; se invece è preso in piccola dose, poiché viene assimilato, libera l'intestino agendo su di esso come farmaco. Per contro la scamonea, se è molta, viene assimilata al punto da diffondersi e, diffusasi, si trasforma in farmaco per la ragione già detta; se invece è poca, penetra nei dotti insieme coi liquidi e subito, prima di provocare turbamenti, va a finire nella vescica, e lí trasporta, con la forza che le è propria, tutte le scorie e i materiali liquidi che sono in superficie. Ma quando è presa in alta dose,[61] come si è detto, poiché rimane a lungo nell'intestino, con la sua azione provoca abbondanti evacuazioni alvine terrose.

59) Moderna invero la definizione qui data del farmaco, che ricorda molto da vicino quella di Hippocr., *De loc. in hom.*, I 16 (VI, 340 L.). La farmacologia odierna, dopo 24 secoli, ha potuto infatti aggiungere, al concetto greco della m o d i f i c a z i o n e operata dal farmaco, solo il dato delle azioni chimiche o chimico-fisiche. Cf. Piccinini, *Passi ippocratici* cit., p. 139 e Benedicenti, *op. cit.*, p. 119. 60) κατωρετικόν dei codd. può essere accolto (cf. Hesych., *s. v.* κατώρης· κάτω ῥέων, donde Barth.: *deorsum ferens*). Ma già Trap. pare leggesse κατωτερικόν, che ricorre nel *Corpus Hippocr.*: traduce infatti *alvi solutivum* (anche Th. G.: *alvum ciet*). Gli editori propendono piuttosto per καθαρτικόν proposto dal Sylburg. Che si debba leggere καταρρηκτικόν (= *purgativo*), usato da Hippocr., *De acut.*, 31? 61) In conclusione, considerato che i medicamenti hanno sempre un effetto (che potrà variare, ma non mancare), non basta mutarli secondo il bisogno, ma occorre tener conto della dose, giacché in conseguenza di essa la loro azione fisiologica può mutare completamente. Si legge infatti nel *De loc. in hom.* che la *mandragora* ad alta dose produce l'insonnia, data a piccole dosi ai sofferenti di ansia o di mania suicida può farli guarire.

Διὰ τί τὰς αὐτὰς φλεγμασίας οἱ μὲν ψύχοντες ὑγιάζουσιν, οἱ δὲ θερμαίνοντες πέττουσιν; ἢ ὅτι οἱ μὲν ἀλλοτρίᾳ θερμότητι, οἱ δὲ καταψύχοντες τὴν οἰκείαν συνάγουσιν; 44

Διὰ τί μεταβάλλειν δεῖ τὰ καταπλάσματα; ἢ ὅπως μᾶλλον αἰσθάνηται; τὰ γὰρ συνήθη, ὥσπερ ἐπὶ τῶν ἐδεσμάτων οὐκέτι φάρμακα, ἀλλὰ τροφὴ γίνεται, οὕτω καὶ ἐπὶ τῶν τοιούτων. 45

Διὰ τί ὑγιεινὸν τὸ τῆς τροφῆς μὲν ὑποστέλλεσθαι, πο- 46
p. 865 a νεῖν δὲ πλείω; ἢ ὅτι τοῦ νοσεῖν αἴτιον περιττώματος πλῆθος; τοῦτο δὲ γίνεται, ἡνίκα τροφῆς ὑπερβολὴ ἢ πόνων ἔνδεια.

Διὰ τί τὰ φάρμακα καὶ τὰ πικρὰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ δυσώδη καθαίρει; ἢ ὅτι ἅπαντα τὰ δυσώδη καὶ πικρὰ ἄπεπτά ἐστι; διὸ καὶ τὰ φάρμακα πικρὰ καὶ δυσώδη· τῷ γὰρ ἄπεπτα εἶναι καὶ κινητικὰ μετὰ πικρότητος 47

29 ἢ ὅτι scripsi ex a^{m} p (etiam Barth.: *aut quia*); ἀλλ' cett. codd., edd. 32 ὅπως β (*ut* latini interpr.); ὅτι ὡς cett. codd. (ὅτι δὴ ὡς L), Al., edd. 33 αἰσθάνηται] αἰσθάνοιντο a^{m} p

865 a 2 ἢ post ὑπερβολὴ exh. α β; prob. Ru., perperam 3 τὸ om. δ γ, Al. 4 ὅτι om. β ἅπαντα καὶ L τὰ πικρὰ καὶ δυσώδη L γ, Al. 5 ἄπεπτα] ἄπταιστα r, t 6 τῷ] τὸ L C^{a}

44 Perché le medesime infiammazioni da alcuni vengono curate col freddo e da altri risolte col caldo?
Non sarà perché gli uni circoscrivono l'infiammazione mediante calore estraneo[62] all'organismo e gli altri raffreddando il calore organico?

45 Perché bisogna cambiare i cataplasmi?[63]
Evidentemente perché il malato meglio possa sentirne gli effetti. Come infatti, nel caso dei commestibili, quelli che ci sono abituali non piú agiscono da farmaci, ma si trasformano in alimenti, cosí anche i cataplasmi, a non cambiarli, perdono ogni efficacia.

46 Perché è salutare ridurre il cibo ed aumentare la fatica?[64]
Non sarà perché l'accumulo di scorie causa le malattie, e questo si determina per eccesso di cibo o diminuzione di fatica?

47 Perché i farmaci e, in generale, le sostanze amare e graveolenti hanno azione evacuante?[65]
Tutte le sostanze di odore sgradevole e di sapore amaro sono indigeribili. E perciò sono tali anche i farmaci amari e di cattivo odore: infatti, proprio perché non sono digeribili e provocano modificazioni col loro sapore amaro, agiscono da farmaci. E se vengono somministrati in dosi eccessive, causano la morte. E le sostanze che, anche se assunte in quantità minime, riescono letali, sono dette non farmaci, ma veleni;

62) Che l'infiammazione, dovuta ad eccessivo calore, possa essere risolta da calore *estraneo* (o *introdotto dall'esterno*), si legge anche in *Meteor.*, 389 b 6 sqq. 63) Il probl. ripropone, in altra forma, il 30°. Il sogg. di αἰσθάνηται è manifestamente ὁ ἄνθρωπος, come di norma nei *Problemata*. Il Flashar, *Anmerk.*, p. 417, sottintende invece *il corpo* e scorge in αἰσθάνεσθαι *la traccia dell'effetto del medicamento sotto forma di una reazione corporea.* 64) Che nutrimento e fatica fisica siano in rapporto scambievole si dice nel *De vict.* Ma il concetto è certamente piú antico, se lo espresse già Erodico di Selimbria, deriso da Plat., *Resp.*, 406 A-C; *Phaedr.*, 227 D e confutato nel *De vent.*, 7 (VI, 98 L.). 65) Il paragrafo, sia pure in forma alquanto differente, ripropone il probl. 42, facendo tema centrale (relazione fra sostanze amare o graveolenti e farmaci) quello che in 42 era marginale. In piú si precisa che determinati elementi dei medicinali operano diversamente, a seconda della predisposizione organica. Le conclusioni, in fondo, non differiscono da quelle del probl. 42.

φάρμακά ἐστιν. καὶ ἐὰν δοθῇ πλείω, διαφθείρει. ὅσα δέ, κἂν μικρὰ δοθῇ, διαφθαρτικά, ταῦτα οὐ φάρμακα λέγεται εἶναι, ἀλλὰ θανατηφόρα. οὐδ' ὅσα μὴ τῷ ποιῷ καθαίρει, οὐκ ἔστι φάρμακα. καὶ γὰρ τῆς τροφῆς πολλὰ μὲν ταὐτὸ ποιεῖ, ἐὰν ποσὰ δοθῇ, οἷον γάλα, ἔλαιον, γλεῦκος· ἅπαντα δὲ ταῦτα, διὰ τὸ μὴ εἶναι εὔπεπτα, καθαίρει· [καὶ τούτοις] οἷς μὴ εὔπεπτα, καθαίρει καὶ τούτους. ἔστι γὰρ ἄλλα ἄλλοις εὔπεπτα καὶ δύσπεπτα. διὸ οὐ πᾶσι ταὐτὰ φαρμακώδη, ἀλλ' ἐνίοις ἴδια. ὅλως γὰρ τὸ φάρμακον δεῖ οὐ μόνον μὴ πέττεσθαι, ἀλλὰ καὶ κινητικὸν εἶναι, ὥσπερ καὶ τὸ γυμνάσιον, ἔξωθεν ἧκον ἢ ἔσωθεν, τῇ κινήσει ἐκκρίνει τὰ ἀλλότρια.

Διὰ τί τὰ μὲν εὐώδη οὐρητικὰ καὶ σπέρματα καὶ 48
φυτά; ἢ ὅτι θερμὰ καὶ εὔπεπτα; τὰ δὲ τοιαῦτα οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ ὀσμώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι συντηκτικά· θερμὰ δὲ τὰ εὐώδη σπέρματα.

Διὰ τί δεῖ πρὸς μὲν τὰ μὴ καθαρὰ καὶ φαῦλα τῶν 49
ἑλκῶν ξηροῖς καὶ δριμέσι καὶ στρυφνοῖς χρῆσθαι φαρμάκοις, πρὸς δὲ τὰ καθαρὰ καὶ ὑγιαζόμενα ὑγροῖς καὶ

7 φάρμακά β δ X^a a^m p; prob. Casaub., Bekk., Bussm.; φάρμακόν cett. 8 σμικρὰ γ, Al. 9 εἶναι λέγεται L 11 ποσὰ] πολλὰ δ (unde Th. G.: *si large sumantur*) 13 καὶ ... καθαίρει om. A^m R; non vertit Th. G. καὶ τούτοις seclusi, utpote ad καὶ τούτους glossema (Trap.: *illosque purgant, quibus digestibilia non sunt*) 14 εὔπεπτα καὶ om. L 15 ταῦτα γ, Al. 19 διουρητικὰ γ (praeter p), Al. 23 μᾶλλον ... συντηκτικά om. L (homoeot.) verba θερμὰ ... (24) σπέρματα secludenda censet C. Diano 26 χρῆσθαι ...

